Καὶ ἐν οὐρανῷ κατοικεῖν ὁ Θεός· παν-
Λόγου θεοπρεπῶς.
ταχοῦ δὲ ἐπίσης ἀχώρητος· ἄνω, εἰ χρὴ συντόμως εἰπεῖν,
καὶ κάτω, καὶ κύκλω, καὶ ἐντὸς τοῦ παντὸς· καὶ ἐκτός. Καὶ
προγνώσκων ... τὰ ἡμέτερα· ὁ προγινώσκων μόνον αὐτά. Τοῖς
εἰς τὰ πάθη καλινδουμένοις χρῆναι συγκατιέναι ἡμᾶς·
χρεὼν κατὰ λόγον αὐτοῖς ἐπιτιμᾶν τὸν προσήκοντα.
Φθαρτὸν χεῖν τὸ σῶμα κατ᾽ ἀρχὰς τὸν Ἀδὰμ, καὶ πα-
σι πάθεσιν ὑποκείμενον· τὸ μετὰ τὴν ἁμαρτίαν παθῶν
δεκτικὸν γενόμενον καὶ φθορᾶς. Μηδένα νῦν τῶν Ἀγγέ-
λων προκόπτειν, κατά τινα γνῶσιν, καὶ δόξαν, καὶ θείαν
μακαριότητα· ἐν αἷς προκόπτοντες οὐδέποτε λήγουσι.
Τὸν ἐν Ἐδὲμ Παράδεισον ὑποκεῖσθαι φθορᾷ· ἄφθαρτον
ὄντα, ὡς τοῖς ἁγίοις δοκεῖ. Ἐπαγγελίᾳ μόνῃ, καὶ οὐχὶ
πράγματι, ἐν Παραδείσῳ τοῦ λῃστοῦ τὴν ψυχὴν εἰσελ-
θεῖν· κατ᾽ αὐτὴν τὴν ἡμέραν τῆς τοῦ Δεσπότου σφαγῆς,
καὶ εἰσελθοῦσαν ἐκεῖσε καὶ μένουσαν. Πάσης ἀπολαύειν
τῆς ἀποκειμένης μακαριότητος, τὰς τῶν ἁγίων ψυ-
χάς· μόνον τῶν νοητῶν, καὶ ἐκ μέρους, ὅτι δίχα σωμά-
των, αὐτῆς ἀπολαυουσῶν. Μέγα τι ζημιωθῆναι τοὺς
πρὸ τῆς ἐνσάρκου οἰκονομίας, τὸ μὴ τὴν ἀνθρωπότητα
θεάσασθαι τοῦ Λόγου· πάντων προφητικοῖς ὄμμασι πόῤ-
ῥωθεν προϊδόντων ταύτην, καὶ ἀσπασαμένων τῷ Πνεύ-
ματι. Μετὰ τὸν προσήκοντα χρόνον ἐνανθρωπῆσαι τὸν
Κύριον· ὅτε μᾶλλον ἐχρῆν τηνικαῦτα, τῆς Μητρὸς αὐτοῦ
εἰς τὸν βίον ἐλθούσης, καὶ τῆς κακίας αὐτὸ ἀγούσης τὸ
ἀκμαιότατον. Ἀνάστασις καὶ ἀνάληψις εἶναι τῆς Θεο-
τόκου, ἡ κοίμησις αὐτῆς καὶ μετάστασις. Αἱ τῶν ἁγίων
ἐντεῦθεν ἀπελθοῦσαι ψυχαὶ κατά τινα τόπον, ἄγνωστον
πᾶσι διάγειν, καὶ μηκέτι τοῖς ὧδε φοιτᾶν· οὔτε τῷ
οὐρανῷ καὶ τῷ Παραδείσῳ διάγουσαι, καὶ ἡνίκα δεήσει
αὐτοπροσώπως δεῦρο φοιτῶσαι ἐπ᾽ εὐεργεσίᾳ πολλῶν.
Ἐξεῖναι πᾶσι τοῖς θέλουσιν εἰσιέναι εἰς τοὺς ἁγίους ναοὺς
δι᾽ ὅλου· μηδὲ τοῖς ἱερεῦσιν αὐτοὺς βατοὺς ὄντας πάντοτε.
Τῶν ἐν ἡμῖν κακῶν μόνος αἴτιος εἶναι ὁ τοῦ γένους ἡμῶν ἀρ-
χῆθεν πολέμιος· ἐν πολλοῖς καὶ ἡμᾶς μηδενὸς ἀναγκά-
ζοντος, οἴκοθεν ὀλισθαίνοντας. Μετανοίᾳ περὶ τὸ τέλος ὁ
Σολομῶν



Σολομῶν χρήσασθαι· ἐν ἁμαρτίαις ἀποθανών. Ὅ, τε
προδότης Ἰούδας, μετὰ τὸ προδοῦναι τὸν Κύριον ἐπιζῆσαι
μακρά· κατ᾽ αὐτὴν τὴν ἡμέραν ἀγχόνῃ χρησάμενος,
καθ᾽ ἣν ὁ πάντων Δεσπότης ἐσταύρωται. Ἄλυτος εἶναι
πᾶς ὁ παρὰ τῶν ἱερέων τισὶν ἐπαγόμενος δεσμός· ὁ ἐν-
δίκως μόνον ὤν, καὶ οὐχ ὡς τύχοι, καὶ ὁ τῶν πολλῶν
πρὸς τὸν ἕνα, καὶ ὁ τῶν μειζόνων πρὸς τοὺς ἐλάττονας.
Ἰωάννης ὁ θεολόγος, καὶ Συμεὼν ὁ θεοδόχος, ὁ μὲν ζῆν
εἰσέτι, ὁ δὲ ἱερατικῆς ἀξίας εἶναι πάντῃ ἀμέτοχος· ὧν
τὰ ἐναντία νενόηται. Τῶν νῦν Ῥωμαίων οἱ ἄρχοντες Ἕλ-
ληνες εἶναι, Ἰταλῶν δ᾽ ἅπαν τὸ φῦλον Ῥωμαῖοι· ὧν οἱ
μὲν πρῶτοι τῶν Ῥωμαίων τὸ ἄνθος, κἂν φωνῆς τῆς Πα-
τρίου, τῷ τὴν Ἑλλάδα προελέσθαι, ὥσπερ ἄρα καὶ τῆς
σφῶν γῆς ἀπέστησαν· οἱ δὲ δεύτεροι τῶν πάλαι Λατίνων
ἀπόγονοι καθεστῶτες, κἂν τὴν τῶν Ῥωμαίων γλῶτταν,
ὡς καὶ τὴν πόλιν αὐτῶν ἐκληρώσαντο. Ἐξ οἰκείας σπου-
δῆς ζῆν ἡμᾶς, ὑγιαίνειν, καὶ τρέφεσθαι· τῆς τοῦ Θεοῦ
δυνάμεως κατορθούσης τὸ πᾶν. Τῶν ἀνθρώπων τελευτᾶν
μηδένα, πρὶν ἂν τὸ ὡρισμένον αὐτῷ τέλος φθάσῃ· τῶν
πλείστων πρὸ τοῦ δοκοῦντος τοῖς πολλοῖς τούτου, πολλῶν δὲ
καὶ μετὰ τοῦτο, τῶν τῇδε καθ᾽ ἑκάστην μεθισταμένων. Τῆς
γῆς τὸ ἡμισφαίριον ἅπαν οἰκεῖσθαι· οὐδὲ τοῦ τεταρτημο-
ρίου παντὸς οἰκισθὲν ποτέ. Ἡ οὐράνιος ἵστασθαι σφαῖρα·
ἀδιάπαυστα, καὶ ταχύτερον φωνῆς ἀνθρωπίνης εἰς ἀκοὴν
ὠτίου κινουμένη εἰς ἑαυτὴν κυκλικῶς. Ἡ θάλασσα πᾶ-
σα κατωτέρα τῆς γῆς· κυκλοτερὴς οὖσα ταύτης, καὶ ὡς
εἰπεῖν ἐπιπόλαιος. Πομφόλυγος δίκην ἡμισφαίριον ἅπας
ὁ κόσμος οὑτοσί· σφαῖρα ὢν πάσης σφαίρας πληρέστατος.
Ἐπίπεδος εἶναι ἡ γῆ· σφαιροειδὴς οὖσα ἄντικρυς, καθά-
περ πάντα τὰ τῶν στοιχείων ἁπλᾶ. Ἴσος τῇ Σελήνῃ
τῷ μεγέθει ὁ Ἥλιος· αὐτῆς πολλαπλάσιος ὤν. Καὶ ἄμ-
φω δὲ οἱ φωστῆρες, καὶ ὁρῶνται τῆς γῆς ἐλάττονες, καὶ
νοοῦνται, ὧν ὁ μὲν ἴσος, ὁ δὲ τοῦ δεκαπλασίου ταύτης μει-
ζότερος. Τὸ τῆς Σελήνης σῶμα αὐτολαμπὲς τοῖς πολ-
λοῖς· φῶς οἴκοθεν οὐκ ἔχον, ἀλλ᾽ ἐξ ἡλίου καταυγαζόμε-
νον. Ἀφανίζεσθαι ὁ Ἥλιος, καὶ ἐκλείπειν ὁλικῶς ἡ Σε-
λήνη,